# *Histories*, 3.17–25, 38

# The Ethiopians; The power of custom

# 2020–2021 Prescription

ἐβουλεύσατό ποτε ὁ Καμβύσης στρατείαν ἐπὶ τοὺς μακροβίους Αἰθίοπας οἰκουμένους Λιβύης ἐπὶ τῇ νοτίᾳ θαλάττῃ. ἔδοξε δὲ αὐτῷ πρῶτον κατόπτας ἀποστέλλειν, ὀψομένους τε τὴν ἐν τούτοις τοῖς Αἰθίοψι λεγομένην εἶναι ἡλίου τράπεζαν εἰ ἔστιν ἀληθῶς, καὶ πρὸς ταύτῃ τὰ ἄλλα κατοψομένους, δῶρα δὲ τῷ λόγῳ φέροντας τῷ βασιλεῖ αὐτῶν.

ἡ δὲ τράπεζα τοῦ ἡλίου τοιάδε τις λέγεται εἶναι. λειμών ἐστιν ἐν τῷ προαστείῳ ἐπίπλεως κρεῶν ἑφθῶν πάντων τῶν τετραπόδων, εἰς ὅν τὰς μὲν νύκτας τιθέασι τὰ κρέα οἱ ἐν

τέλει ὄντες, τὰς δὲ ἡμέρας δαίνυται προσιὼν ὁ βουλόμενος. οἱ δὲ ἐπιχώριοί φασι ταῦτα τὴν γῆν αὐτὴν ἀναδιδόναι ἑκάστοτε. ἡ μὲν δὴ τράπεζα τοῦ ἡλίου καλουμένη λέγεται εἶναι τοιάδε.

Καμβύσῃ δὲ ὡς ἔδοξε πέμπειν τοὺς κατασκόπους, αὐτίκα μετεπέμπετο ἐξ Ἐλεφαντίνης πόλεως τῶν Ἰχθυοφάγων ἀνδρῶν τινας ἐπισταμένους τὴν Αἰθιοπίδα γλῶτταν. ἐπεὶ δὲ ἀφίκοντο, ἔπεμπεν αὐτοὺς εἰς τοὺς Αἰθίοπας, ἐντειλάμενος ἃ λέγειν χρῆν, δῶρα φέροντας πορφυροῦν τε εἷμα καὶ χρυσοῦν στρεπτὸν περιαυχένιον καὶ ψέλια καὶ μύρου ἀλάβαστρον καὶ φοινικείου οἴνου κάδον.

οἱ δὲ Αἰθίοπες οὗτοι λέγονται εἶναι μέγιστοι καὶ κάλλιστοι

ἀνθρώπων πάντων. νόμοις δὲ καὶ ἄλλοις χρῶνται κεχωρισμένοις τῶν ἄλλων ἀνθρώπων καὶ δὴ καὶ κατὰ τὴν βασιλείαν τοιῷδε· ὅν ἂν τῶν ἀστῶν κρίνωσι μέγιστόν τε εἶναι καὶ κατὰ τὸ μέγεθος ἔχειν τὴν ἰσχύν, τοῦτον ἀξιοῦσι βασιλεύειν.

εἰς τούτους δὴ οὖν τοὺς ἄνδρας ὡς ἀφίκοντο οἱ Ἰχθυοφάγοι, διδόντες τὰ δῶρα τῷ βασιλεῖ αὐτῶν ἔλεγον τάδε, ‘βασιλεὺς ὁ Περσῶν Καμβύσης βουλόμενος φίλος καὶ ξένός σοι γενέσθαι ἡμᾶς τε ἀπέπεμψεν, εἰς λόγους ἐλθεῖν κελεύων, καὶ δῶρα ταῦτά σοι δίδωσι, οἷς καὶ αὐτὸς μάλιστα ἥδεται χρώμενος.’

ὁ δὲ Αἰθίοψ μαθὼν ὅτι κατόπται ἥκοιεν λέγει πρὸς αὐτοὺς

τοιάδε, ‘οὔτε ὁ Περσῶν βασιλεὺς δῶρα ὑμᾶς ἔπεμψε φέροντας βουλόμενος ἐμοὶ ξένος γενέσθαι, οὔτε ὑμεῖς λέγετε ἀληθῆ (ἥκετε γὰρ κατόπται τῆς ἐμῆς ἀρχῆς), οὔτε ἐκεῖνος ἀνήρ ἐστι δίκαιος· εἰ γὰρ ἦν δίκαιος, οὔτ᾽ ἂν ἐπεθύμησε χώρας ἄλλης ἢ τῆς ἑαυτοῦ, οὔτ᾽ ἂν εἰς δουλοσύνην ἀνθρώπους ἦγεν ὑφ᾽ ὧν οὐδὲν ἠδίκηται.

νῦν δὲ αὐτῷ τόξον τόδε διδόντες τάδε ἔπη λέγετε, ‘βασιλεὺς ὁ Αἰθιόπων συμβουλεύει τῷ Περσῶν βασιλεῖ τότε ἐπ᾽ Αἰθίοπας τοὺς μακροβίους στρατεύεσθαι ἐπὴν οὕτως εὐπετῶς Πέρσαι ἕλκωσι τὰ τόξα ὄντα μεγέθει τοσαῦτα· μέχρι δὲ τούτου θεοῖς εἰδέναι χάριν, οἳ οὐκ ἐπὶ νοῦν τρέπουσιν Αἰθιόψι γῆν ἄλλην προσκτᾶσθαι τῇ ἑαυτῶν.’ ταῦτα δὲ εἰπὼν καὶ ἀνεὶς τὸ τόξον παρέδωκε τοῖς ἥκουσι.

λαβὼν δὲ τὸ εἷμα τὸ πορφυροῦν ἤρετο ὅ τι εἴη καὶ ὅπως πεποιημένον· εἰπόντων δὲ τῶν Ἰχθυοφάγων τὴν ἀλήθειαν περὶ τῆς πορφύρας καὶ τῆς βαφῆς, δολεροὺς μὲν τοὺς ἀνθρώπους ἔφη εἶναι, δολερὰ δὲ αὐτῶν τὰ εἵματα.

δεύτερον δὲ περὶ τοῦ χρυσοῦ περιαυχενίου ἤρετο καὶ περὶ τῶν ψελίων· ἐξηγουμένων δὲ τῶν Ἰχθυοφάγων, γελάσας ὁ βασιλεὺς καὶ νομίσας αὐτὰ εἶναι πέδας εἶπεν ὡς παρ᾽ ἑαυτοῖς εἰσι ῥωμαλεώτεραι τούτων πέδαι.

τρίτον δὲ ἤρετο περὶ τοῦ μύρου· εἰπόντων δὲ αὐτῶν περὶ τῆς ποιήσεως καὶ ἀλείψεως, τὸν αὐτὸν λόγον ὃν καὶ περὶ τοῦ εἵματος εἶπεν. ὡς δὲ εἰς τὸν οἶνον ἀφίκετο καὶ ἐπύθετο αὐτοῦ

τὴν ποίησιν, ὑπερησθεὶς τῷ πώματι ἐπήρετο ὁ βασιλεὺς ὅ τι σιτοῦνται οἱ Πέρσαι καὶ ὁπόσον χρόνον μακρότατον ἀνὴρ Πέρσης ζῇ. οἱ δὲ σιτεῖσθαι μὲν τὸν ἄρτον ἔφασαν, ἐξηγησάμενοι τῶν πυρῶν τὴν φύσιν, ὀγδοήκοντα δὲ ἔτη ζωῆς πλήρωμα μακρότατον ἀνδρὶ προκεῖσθαι.

πρὸς ταῦτα ὁ Αἰθίοψ ἔφη οὐδὲν θαυμάζειν εἰ σιτούμενοι κόπρον ἔτη ὀλίγα ζῶσιν · οὐδὲ γὰρ ἂν τοσαῦτα ἔφη δύνασθαι ζῆν αὐτούς, εἰ μὴ τῷ πώματι ἀνέφερον (φράζων τὸν οἶνον)· τούτῳ γὰρ ἑαυτοὺς ὑπὸ Περσῶν ἡττᾶσθαι.

ἀντερομένων δὲ τὸν βασιλέα τῶν Ἰχθυοφάγων περὶ τῆς ζωῆς καὶ διαίτης, ἔφη ἔτη μὲν εἰς εἴκοσι καὶ ἑκατὸν τοὺς πολλοὺς αὐτῶν ἀφικνεῖσθαι, ὑπερβάλλειν δέ τινας καὶ ταῦτα, σίτησιν

δὲ εἶναι κρέα ἑφθὰ καὶ πῶμα γάλα. θαῦμα δὲ ποιουμένων τῶν κατασκόπων περὶ τῶν ἐτῶν, ἐπὶ κρήνην αὐτοῖς ἡγήσατο ἀφ′ ἧς λουόμενοι λιπαρώτεροι ἐγίγνοντο, καθάπερ εἰ ἐλαίου ἡ κρήνη εἴη, ὦζε δ′ ἀπ′ αὐτῆς ὡς εἰ ἴων. ἀσθενὲς δὲ τὸ ὕδωρ τῆς κρήνης ταύτης οὕτω δή τι ἔλεγον εἶναι οἱ κατάσκοποι ὥστε μηδὲν οἷόν τ′ εἶναι ἐπ′ αὐτοῦ ἐπιπλεῖν, μήτε ξύλον μήτε ὅσα ξύλου ἐστιν ἐλαφρότερα, ἀλλὰ πάντα χωρεῖν εἰς βυθόν. καὶ διὰ τὸ ὕδωρ τοῦτο, εἴ ἐστὶν ἀληθῶς οἷόν τι λέγεται, μακρόβιοι ἂν εἶεν, εἰς πάντα χρώμενοι.

ἀπὸ τῆς κρήνης δὲ ἀπαλλαχθέντων αὐτῶν, ἤγαγεν ὁ βασιλεὺς εἰς τὸ δεσμωτήριον, ἔνθα οἱ πάντες ἐν πέδαις χρυσαῖς ἐδέδεντο. ἔστι δὲ ἐν τούτοις τοῖς Αἰθίοψι ὁ χαλκὸς πάντων σπανιώτατον καὶ τιμιώτατον. θεασάμενοι δὲ τὸ

δεσμωτήριον ἐθεάσαντο καὶ τὴν τοῦ ἡλίου λεγομένην τράπεζαν. θεασάμενοι δὲ πάντα ἀπαλλάττονται ὀπίσω.

ἀπαγγειλάντων δὲ τῶν κατασκόπων ταῦτα, αὐτίκα ὁ Καμβύσης ὀργὴν ποιησάμενος ἐστρατεύετο ἐπὶ τοὺς Αἰθίοπας, οὔτε παρασκευὴν σίτου οὐδεμίαν παραγγείλας οὔτε λόγον ἑαυτῷ δοὺς ὅτι εἰς τὰ ἔσχατα γῆς ἤμελλε στρατεύσεσθαι· οἷα δὲ ἐμμανής τε ὢν καὶ οὐ φρενήρης, ὡς ἤκουσε τῶν Ἰχθυοφάγων, ἐστρατεύετο πάντα τὸν πεζὸν ἅμα ἀγόμενος. πρὶν δὲ τῆς ὁδοῦ τὸ πέμπτον μέρος διεληλυθέναι τὴν στρατιάν, αὐτίκα τὰ σιτία ἐπελελοίπειν αὐτούς, μετὰ δὲ τὰ σιτία καὶ τὰ ὑποζύγια ἐπέλιπε κατεσθιόμενα.

εἰ μέν νυν μαθὼν ταῦτα ὁ Καμβύσης ἐγνωσιμάχει καὶ

ἀπῆγεν ὀπίσω τὸν στρατόν, ἐπὶ τῇ ἀρχῆθεν γενομένῃ ἁμαρτάδι ἦν ἂν ἀνὴρ σοφός· νῦν δὲ οὐδένα λόγον ποιούμενος ᾔει ἀεὶ εἰς τὸ πρόσω. οἱ δὲ στρατιῶται, ἕως μέν τι εἶχον ἐκ τῆς γῆς λαμβάνειν, ποιηφαγοῦντες διέζων· ἐπεὶ δὲ εἰς τὴν ψάμμον ἀφίκοντο, δεινὸν ἔργον αὐτῶν τινες εἰργάσαντο· ἐκ δεκάδος γὰρ ἕνα ἑαυτῶν ἀποκληρώσαντες κατέφαγον.

πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας τὴν ἀλληλοφαγίαν, ἀφεὶς τὸν ἐπ′ Αἰθίοπας στόλον ὀπίσω ἐπορεύετο, καὶ ἀφικνεῖται εἰς Θήβας πολλοὺς ἀπολέσας τοῦ στρατοῦ.

ἕκαστοι νομίζουσι πολύ τι καλλίστους τοὺς ἑαυτῶν νόμους. τοῦτο δὲ πολλοῖς τε ἄλλοις τεκμηρίοις πάρεστι σταθμώσασθαι

καὶ δὴ καὶ τῷδε. Δαρεῖος ἐπὶ τῆς ἑαυτοῦ ἀρχῆς καλέσας Ἕλληνάς τινας ἤρετο ἐφ′ ὁπόσῳ ἂν χρήματι βούλοιντο τοὺς πατέρας ἀποθνῄσκοντας κατασιτεῖσθαι· οἱ δὲ ἐπ′ οὐδενὶ ἔφασαν ἔρδειν ἂν τοῦτο. Δαρεῖος δὲ μετὰ ταῦτα καλέσας Ἰνδῶν τοὺς καλουμένους Καλλατίας, οἳ τοὺς γονέας κατεσθίουσιν, ἤρετο (παρόντων τῶν Ἑλλήνων καὶ δι′ ἑρμηνέως μανθανόντων τὰ λεγόμενα) ἐπὶ τίνι χρήματι δέξαιντ′ ἂν τελευτῶντας τοὺς πατέρας κατακάειν πυρί· οἱ δέ, ἀναβοήσαντες μέγα, εὐφημεῖν αὐτὸν ἐκέλευον.